Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Capvt XX. Eiusdem Caelestini epistola ad Ioannem episcopum Antiochenum.

urn:nbn:de:hbz:466:1-15062

Visual Library

Anno Christi 431.

## ΚΕΦΑΛΑΙΟΝ κ'.

Τοῦ αὐτοῦ Κελεστίνου πρὸς Ἰωάννην ἐπίσκοπον Ἀντιοχέων ἐπιστολή.

Τῷ ἀγαπητῷ ἀδελφῷ Ἰωάννῃ Κελεστῖνος.

ΕΥΧΟΜΕΘΑ μὲν, ὥσπερ μία ἐστὶ τῆς θεότητος οὐσία, οὕτω καὶ παρὰ πᾶσι τοῖς ὁπουδήποτε οὖσιν ἀνθρώποις, μίαν τῆς ὀρθῆς πίστεως ἀλήθειαν ἔχειν. ἐλάττων δὲ ὅμως ὁ στεναγμός ἐστιν, ἐάν τινες ἑαυτοὺς ἐκτὸς τῆς ἀγέλης τῆς δεσποτικῆς ἀποχωρίζοντες, καὶ διὰ γωνιῶν καὶ συσκίων τόπων λανθάνοντες * ἑαυτοὺς, εἰκαίοις λόγοις τισὶ συμβουλεύωσιν ὁμονοεῖν ἑαυτοῖς ἐν τῇ λανθανούσῃ πλάνῃ. ὅτε δὲ ἐν τῇ τοῦ θεοῦ ἱερᾷ ἐκκλησίᾳ ὁ προβεβλημένος * ἐν τῷ ὀνόματι τοῦ ἱερέως αὐτὸν τὸν τοῦ Χριστοῦ δῆμον ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας κατὰ κρημνῶν ἀποστρέφει τῇ ἐκ ὀρθῇ συμβουλῇ, καὶ τοῦτο ἐν τῇ μεγίστῃ πόλει, εἰς ἣν διὰ τὴν τιμὴν τοῦ ἐνοικοῦντος βασιλέως ἀπὸ παντὸς τοῦ κόσμου συντρέχει τὸ πλῆθος, τότε δηλαδὴ διπλασιαστέος ἐστὶν ὁ θρῆνος, καὶ μείζων ἡ φροντὶς, ἵνα μή τι ἡ ἁρπαγὴ τοῦ λύκου παραλογιζομένου κατισχύσῃ. ἐλάττων γάρ ἐστιν ἡ φροντὶς πολιορκοῦντος τοῦ ἐχθροῦ, ἢ ἐντὸς τειχῶν ἐκβακχεύοντος· καὶ κουφότερον παρενοχλεῖ ὁ λύκος ἐκτὸς τῶν ποιμνίων ἀποπλανώμενος, ἤπερ ἐν αὐτῇ τῇ ἀγέλῃ τόπον ποιμένος ἐπιλαβόμενος. ἐπειδήπερ πλέον τοῦ ἐμφυλίου πολέμου ἐστὶν, ὅταν ἐντὸς τῆς ἐκκλησίας, τουτέστιν ἐντὸς αὐτοῦ τοῦ οἴκου τοῦ θεοῦ, δόρατα ἀκοντίζηται τῆς ἀσεβοῦς θρησκείας. ὅθεν πάνυ συντετάρακται ἡμῶν τὰ σπλάγχνα, ὅτι οὗτος,

* ἑαυτοῖς ἢ ἄλλοις ὀλίγοις τισί

* ἐστὶ τῷ

## CAPUT XX.

*Eiusdem Cælestini epistola ad Ioannem episcopum Antiochenum.*

*Dilecto fratri Ioanni Cælestinus.*

OPTAREMUS quidem, sicuti est una deitatis essentia, ita inter omnes qui ubique sunt homines, unam rectę fidei veritatem teneri. Minor tamen gemitus est, si qui se extra gregem Dominicum segregantes, & per angulos latebrasque latitantes, alios sibi vel paucos, qui secum sentiunt, occulto errore persuadeant. Cum vero aliquis sacrosanctæ ecclesiæ Dei sub nomine præpositus sacerdotis, ipsum Christi populum a tramite veritatis in præceps deuiæ persuasionis auertit, & hoc in amplissima urbe, ad quã propter inhabitantis imperatoris reuerẽtiam de uniuerso orbe confluit multitudo; tunc plane est geminanda lamentatio, & maior solicitudo, ne quid lupi rapacitas pręualeat, adhibenda. Minor enim cura est obsidentis inimici, quam intra mœnia debacchantis: leuiusque solicitat lupus extra ouilia pererrans, quam intra gregem locum pastoris inuadens: quia bellum plus quam ciuile est, cum intra ecclesiam, id est, intra ipsum Christi thalamum tela sectæ impiæ iaciuntur. Unde vehementer conturbata sunt nostra viscera,

quod is qui Constantinopolitanam obtinere videtur ecclesiam, deuotissimis Christi populis peruersa quædam cōtra reuerentiam virginei partus, & cōtra spem nostræ salutis infundit. Hæc ad nos ingerente dolore fidelium peruenerunt; hæc libris, quos ipse miserat, publicata sunt; &, quod maioris probationis est, hæc ad nos missis epistolis ipsa auctoris subscriptione munitis, ita insinuata sunt, vt dubitari vltra non liceat. Vnde quoniam in talibus causis non est tuta longior conniuentia, quia tātumdem pene criminis est conniuere a talibus, quanti sceleris est tam sacrilega prædicare; & episcopum Nestorium, & si quis alius eum secutus hæc prædicat, a nostra communione secreuimus, quamdiu scriptura professionis emissa, peruersitatem, quam cœperat docere, condemnet, & hanc de virgineo partu, id est, de humani generis salute fidem asserat se tenere, quam secundum apostolicam doctrinam Romana, & Alexandrina, & catholica vbique ecclesia tenet, & veneratur, & prædicat. Si quis vero aut ab episcopo Nestorio, aut ab aliis qui eum sequuntur, ex quo talia prædicare cœperunt, vel excommunicatus, vel exutus est seu antistitis, seu clerici dignitate, hunc in nostra communione & durasse & durare manifestum est. Nec iudicamus remotum, quia non poterat quemquā eius remouere sententia, qui se iam præbuerat ipse remouendum. Hæc, frater carissi-

Anno Christi 43

ὅστις δοκεῖ κατέχειν τὴν ἐκκλησίαν Κωνσταντινουπόλεως, τοῖς καθωσιωμένοις τοῦ Χριστοῦ δήμοις διεστραμμένα τινὰ ἐκχέει, ὑπεναντία τῆς τιμῆς καὶ αἰδοῦς τοῦ τοκετοῦ τῆς ἁγίας παρθένου, καὶ ὑπεναντία τῆς ἐλπίδος τῆς ἡμετέρας σωτηρίας. ταῦτα * εἰσῆλθεν ὑποβαλλούσης τῆς ἀλγηδόνος τῶν πιστῶν, ἃ ἐγνωρίσθη διὰ τῶν βιβλίων, ἅπερ αὐτὸς ἔπεμψε· καί, ὅπερ μείζονος ἀποδείξεώς ἐστι, πεμφθεισῶν ἐπιστολῶν πρὸς ἡμᾶς, ὑπογραφῇ αὐτοῦ τοῦ αὐθέντου ὠχυρωμένων, ὡς ἀμφιβληθῆναι περὶ ἑτέρου μὴ ἐξὸν εἶναι. ὅθεν ἐπειδὴ ὑπὲρ τοιούτων αἰτιῶν οὐκ ἔστιν ἀσφαλὴς ἡ μακροτέρα παρενθύμησις· τοσοῦτον γάρ ἐστι σχεδὸν ἔγκλημα παρενθυμεῖσθαι τὰ τοιαῦτα, ὁποῖόν ἐστι μῦσος, τὰ τοιαῦτα ἱερόσυλα * συλλέγειν· καὶ τὸν ἐπίσκοπον Νεστόριον, καὶ εἴ τις ἄλλος αὐτῷ ἀκολουθήσας τὰ τοιαῦτα λέγει, ἀπὸ τῆς ἡμετέρας κοινωνίας ἀποχωρίζομεν, ἕως οὗ δι' ἐγγράφου ὁμολογίας πεμφθείσης τὴν διαστροφήν, ἣν ἤρξατο διδάσκειν, κατακρίνῃ, καὶ ταύτην ἑαυτὸν περὶ τοῦ παρθενικοῦ τόκου, τουτέστι περὶ τῆς σωτηρίας τοῦ τῶν ἀνθρώπων γένους, τὴν πίστιν ὁμολογήσῃ κατέχειν, ἥν τινα κατὰ τὴν ἀποστολικὴν διδασκαλίαν ἡ Ῥωμαίων, καὶ ἡ Ἀλεξανδρέων, καὶ ἡ καθολικὴ πανταχοῦ ἐκκλησία κατέχει, * προσκυνήσῃ τε καὶ ὁμολογήσῃ. εἴ τις δὲ ἢ ἀπὸ Νεστορίου, ἢ ἀπὸ τῶν ἄλλων τῶν αὐτῷ ἐξακολουθησάντων, ἀφ' οὗ τὰ τοιαῦτα ἤρξατο λαλεῖν, ἢ ἀκοινώνητος ἐγένετο, ἢ ἐγυμνώθη τῆς τοῦ ἱερέως ἀξίας, ἢ τῆς τοῦ κληρικοῦ, τοῦτον ἐν τῇ ἡμετέρᾳ κοινωνίᾳ καὶ μεμενηκέναι, καὶ μένειν εἰς τὸ ἑξῆς ὡμολόγηται. καὶ οὐδὲ λέγομεν αὐτὸν ἀποκεκινῆσθαι· ἐπειδήπερ οὐδὲ ἠδύνατό τινα ἡ τούτου ἀπόφασις ἀποκινεῖν, ὅστις ἑαυτὸν παρέσχεν ἤδη ἀποκινητέον. ταῦτα, ἀδελφὲ

ANNO CHRISTI 431.

*τῷ σῷ στήθει τὸν τοῦ Χριστοῦ θώρακα. *ἴσως, μετὰ. *ἐκκλησίας

τιμιώτατε, πρὸς τὴν σὴν ἁγιωσύνην ἐγράψαμεν, ἵνα ἐνδυναμωθῇς ἐν τῷ δεσπότῃ, καὶ τὸν οἰκεῖον* τῷ στήθει θώρακα, καὶ τὴν *ἐλπίδα τῆς καθολικῆς* ὁμολογίας ἐνδυσάμενος, τὴν ἀγέλην τοῦ ἡμετέρου δεσπότου Ἰησοῦ Χριστοῦ, ὅστις ὑπὲρ ἡμῶν καὶ ἐγεννήθη καὶ ἔπαθεν· ὅστις καὶ ἀνοιγομένων τῶν καταχθονίων, καὶ τοῦ θανάτου ἡττηθέντος, ὑπὲρ ἡμῶν τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη· ἀπὸ τῆς πονηρᾶς καὶ αἱρέσης διδασκαλίας ἑλκύσῃς. ὥσπερ δὲ καὶ πρὸς τὸν ἁγιώτατον ἀδελφὸν καὶ συνεπίσκοπον ἡμῶν Κύριλλον, τὸν ἀκριβῆ τῆς καθολικῆς ἐκκλησίας καὶ πίστεως ἔκδικον, ἐγράψαμεν περὶ τοῦ αὐτοῦ Νεστορίου· γινωσκέτω ἡ σὴ ἁγιωσύνη παρ' ἡμῶν, μᾶλλον δὲ ὑπ' αὐτοῦ τοῦ δεσπότου Χριστοῦ καὶ θεοῦ ἐξενηνεγμένην εἶναι τὴν ἀπόφασιν, ἵνα ἢ ἐντὸς δέκα ἡμερῶν, ἀριθμουμένων ἀφ' ἧς ἡμέρας ὑπομνησθείη, τὰς ἱεροσύλους αὐτοῦ διδασκαλίας περὶ τῆς τοῦ Χριστοῦ γεννήσεως ἐγγράφῳ ὁμολογίᾳ καταδικάσῃ, καὶ ταύτῃ ἑαυτὸν ὁμολογήσῃ τῇ πίστει ἀκολουθεῖν, ἥντινα καὶ ἡ Ῥωμαίων, καὶ ἡ Ἀλεξανδρέων, καὶ ἡ καθολικὴ φυλάττει ἐκκλησία· ἢ ἀπὸ τῆς συνόδου τῶν ἐπισκόπων ἀποκινηθεὶς, γινωσκέτω οἰκείῳ ἑαυτὸν βεβλάφθαι ὀλέθρῳ. ἵνα δὲ ταῦτα τὰ παρ' ἡμῶν ἀποφανθέντα σπουδαιότερον ἐξανυσθείη, διὰ τοῦ ἡμετέρου υἱοῦ Ποσειδωνίου τοῦ διακόνου τῆς Ἀλεξανδρέων ἐκκλησίας, τὰς ἡμετέρας ἐπιστολὰς πρὸς τὴν σὴν διάθεσιν ἠβουλήθημεν πιστότερον διακομισθῆναι. ὁ θεὸς ὑγιαίνοντά σε διαφυλάττοι, ἀδελφὲ τιμιώτατε.

me, ad ſanctitatem tuam ſcribenda duximus, vt in Domino roboratus, & familiarem pectori tuo loricam Chriſti cum ſcuto catholicæ prædicationis indutus, greges Domini noſtri Ieſu Chriſti, qui pro nobis natus & paſſus eſt, qui reſeratis inferis, & morte deuicta pro nobis die tertio reſurrexit, a perſuaſionis peſſimæ prauitate reuoces. Sicut autem ad ſanctum fratrem & coepiſcopum noſtrum Cyrillum, ſtrenuum catholicæ eccleſiæ & fidei defenſorem ſcripſimus, hanc de eodem Neſtorio ſciat ſanctitas tua a nobis, imo a Chriſto Deo latam eſſe ſententiam, vt aut intra decem dies, ex quo primum monitus fuerit, numerandos, ſacrilegas de Chriſti natiuitate prædicationes ſuas ſcripta confeſſione condemnet, & hanc ſe profiteatur fidem ſequi, quã Romana, & Alexandrina, & vniuerſalis ſeruat eccleſia; aut ab epiſcoporum cœtu remotus, intelligat ſibi ſuam obfuiſſe perniciem. Sed vt hæc, quæ a nobis decreta ſunt, ſtudioſius perficiantur, per filium noſtrum Poſſidonium Alexandrinæ eccleſiæ diaconum noſtras ad dilectionem tuam voluimus fidelius epiſtolas commẽdare. Deus te ſeruet incolumem, honorandiſſime frater. Data iij. Idus Auguſti, Theodoſio xiij. & Valentiniano iij. coſſ.

---

Hæc eadem epiſtola ſcripta etiam fuit Iuuenali Hieroſolymitano, Rufo Theſſalonicenſi, & Flauiano Philippenſi, epiſcopis per orientem, a pari.